UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XVIII. Quae Philonis libri ad nos pervenerint.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

## Caput XVIII.

*Qui Philonis libri ad nos pervenerint.*

Huc refer Niceph. c. 17. 18, l. 2.

Hic porrò vir in dicendo copiosus, in sententiis locuples, in divinæ scripturæ intelligentia sublimis atque excelsus, variam ac multiplicem sacrorum voluminum expositionem edidit. Ac primò quidem scripsit in Genesin, cuncta quæ illic commemorantur, ordine explanans: quos libros sacrarum legum Allegoriam inscripsit. Deinde verò capita quædam sacræ Scripturæ quæ difficultatem habere videntur, singillatim exposuit, objectiones earumque solutiones apponens. Quos similiter libros Quæstionum ac Solutionum in Genesin & in Exodum titulo prænotavit. Sunt præterea ab eodem seorsum conscripti de diversis argumentis Tractatus: Verbi gratia, de Agricultura libri duo, totidemque de temulentia, & alia plurima opuscula variis pro cujusque argumento titulis insignita. Inter quæ est illud de rebus quas mens sobria optat & quas execratur. Item de confusione linguarum. Est & alius de fuga & inventione. Item de congressu & consuetudine cum humanioribus disciplinis. Præterea quis rerum divinarum heres sit, seu de divisione in partes æquales & inæquales. Item de tribus virtutibus quas cum aliis Moses descripsit. Est insuper alius liber de nominum mutatione, & quas ob causas nomina immutantur. In quo libro, de duobus testamentis primo ac secundo se scripsisse testatur. Est & alius liber de migratione. Item de vita sapientis qui per justitiam consummatus est, seu de legibus non scriptis: & alter de gigantibus: tum quòd Deus sit immutabilis. Adde his libros quinque de eo quòd somnia immittantur à Deo, ex sententia Mosis. Atque hi sunt libri ab illo in Genesin conscripti, qui ad nos pervenerunt. In Exodum verò quinque libros Quæstionum & Solutionum ab eo scriptos vidimus. Item de tabernaculo. De decem præceptis. Sunt & quatuor ejus libri de specialibus legibus quæ ad summa Decalogi capita referuntur. Alius item de animalibus quæ sacrificiis deputata sunt, & quæ sunt species sacrificiorum. De præmiis & suppliciis quæ in lege proposita sunt tam bonis quàm malis. Et de imprecationibus. Præter

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

*Ὅσα τοῦ Φίλωνος εἰς ἡμᾶς περιῆλθε συγγράμματα.*

Πολύς γε μὴν τῷ λόγῳ, καὶ πλατὺς ταῖς διανοίαις, ὑψηλός τε καὶ μετέωρος ἐν ταῖς εἰς τὰς θείας γραφὰς θεωρίαις γεγενημένος, ποικίλην καὶ πολύτροπον τῶν ἱερῶν λόγων πεποίηται τὴν ὑφήγησιν· τοῦτο μὲν εἱρμῷ καὶ ἀκολουθίᾳ, τὴν τῶν εἰς τὴν γένεσιν διεξελθὼν πραγματείαν, ἐν οἷς ἐπέγραψε νόμων ἱερῶν ἀλληγορίαις· τοῦτο δὲ, κατὰ μέρος διαστολὰς κεφαλαίων τῶν ἐν ταῖς γραφαῖς ζητουμένων, ἐπιστάσεις τε καὶ διαλύσεις ποιούμενος, ἐν οἷς καὶ αὐτοῖς καταλλήλως τῶν ἐν γενέσει, καὶ τῶν ἐν ἐξαγωγῇ ζητημάτων τε καὶ λύσεων τέθειται τὴν ἐπιγραφήν. ἔστι δ᾽ αὐτοῦ παρὰ ταῦτα, προβλημάτων τινῶν ἰδίως πεπονημένα σπουδάσματα. οἷα ἐστὶ τὰ περὶ γεωργίας δύο, καὶ τὰ περὶ μέθης τοσαῦτα, καὶ ἄλλα ἄττα διαφόρου καὶ οἰκείας ἐπιγραφῆς ἠξιωμένα. οἷος περὶ ὧν νήψας ὁ νοῦς εὔχεται καὶ καταρᾶται. καὶ ὁ περὶ συγχύσεως τῶν διαλέκτων. καὶ ὁ περὶ φυγῆς καὶ εὑρέσεως, καὶ ὁ περὶ τῆς πρὸς τὰ παιδεύματα συνόδου· περὶ τε τοῦ, τίς ὁ τῶν θείων ἐστὶ κληρονόμος, ἢ περὶ τῆς εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς. καὶ ἔτι ὁ περὶ τῶν τριῶν ἀρετῶν, ἃς σὺν ἄλλαις ἀνέγραψε Μωϋσῆς. πρὸς τούτοις, ὁ περὶ τῶν μετονομαζομένων, καὶ ὧν ἕνεκα μετονομάζονται. ἐν ᾧ φησὶ συντεταχέναι καὶ περὶ διαθηκῶν πρώτης καὶ δευτέρας. ἔστι δ᾽ αὐτοῦ καὶ περὶ ἀποικίας καὶ βίου σοφοῦ τοῦ κατὰ δικαιοσύνην τελειωθέντος, ἢ περὶ νόμων ἀγράφων. καὶ ἔτι περὶ γιγάντων, ἢ περὶ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον. περί τε τοῦ κατὰ Μωϋσέα θεοπέμπτους εἶναι τοὺς ὀνείρους, πρῶτον, δεύτερον, τρίτον, τέταρτον, πέμπτον· καὶ ταῦτα μὲν τὰ εἰς ἡμᾶς ἐλθόντα τῶν εἰς τὴν γένεσιν. εἰς δὲ τὴν ἔξοδον ἔγνωμεν αὐτοῦ ζητημάτων καὶ λύσεων πρῶτον, δεύτερον, τρίτον, τέταρτον, πέμπτον. καὶ τὸ περὶ τῆς σκηνῆς· τό, τε περὶ τῶν δέκα λογίων, καὶ τὰ περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τὰ συντείνοντα κεφάλαια τῶν δέκα λόγων. α΄. β΄. γ΄. δ΄. καὶ τὸ περὶ τῶν εἰς τὰς ἱερουργίας ζώων. καὶ τίνα τὰ τῶν θυσιῶν εἴδη. καὶ τὸ περὶ τῶν προκειμένων ἐν τῷ νόμῳ τοῖς μὲν ἀγαθοῖς ἄθλων, τοῖς δὲ πονηροῖς ἐπιτιμίων καὶ

ἀνδρῶν. πρὸς τούτοις ἅπασι καὶ μονόβιβλα αὐτοῦ φέρεται, ὡς τὰ περὶ προνοίας. καὶ ὁ περὶ Ἰουδαίων συνταχθεὶς αὐτῷ λόγος, καὶ ὁ πολιτικός· ἔπειτα ὁ Ἀλέξανδρος, ἢ περὶ τοῦ λόγον ἔχειν τὰ ἄλογα ζῶα. ἐπὶ τούτοις ὁ περὶ τοῦ δοῦλον εἶναι πάντα φαῦλον. ᾧ ἑξῆς ἐστιν, ὁ περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι. μεθ' οὓς συντέτακται αὐτῷ, ὁ περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν, ἐξ οὗ τὰ περὶ τοῦ βίου τῶν Ἀποστολικῶν ἀνδρῶν διεληλύθαμεν· καὶ τῶν ἐν νόμῳ δὲ καὶ προφήταις ἑβραϊκῶν ὀνομάτων αἱ ἑρμηνεῖαι, τοῦ αὐτοῦ σπουδὴ εἶναι λέγονται. οὗτος μὲν οὖν κατὰ Γάϊον ἐπὶ τῆς Ῥώμης ἀφικόμενος, τὰ περὶ B τῆς Γαΐου θεοστυγίας αὐτῷ γραφέντα, ἃ μετὰ ἤθους καὶ εἰρωνείας ἐπέγραψεν περὶ ἀρετῶν, ἐπὶ πάσης λέγεται τῆς Ῥωμαίων συγκλήτου κατὰ Κλαύδιον διελθεῖν· ὡς καὶ τῆς ἐν βιβλιοθήκαις ἀναθέσεως θαυμασθέντας αὐτοῦ καταξιωθῆναι τοὺς λόγους. τηνικαῦτα δὲ καὶ Παύλου τὴν ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ πορείαν μέχρι τοῦ Ἰλλυρικοῦ διανύοντος, Ἰουδαίους Ῥώμης ἀπελαύνει Κλαύδιος. ὅτε Ἀκύλας καὶ Πρίσκιλλα μετὰ τῶν ἄλλων Ἰουδαίων τῆς Ῥώμης ἀπαλλαγέντες, ἐπὶ τὴν Ἀσίαν καταίρουσιν· ἐνταυθά τε Παύλῳ τῷ Ἀποστόλῳ C συνδιατρίβουσι, τοὺς αὐτόθι τῶν ἐκκλησιῶν ἄρτι πρὸς αὐτοῦ καταβληθέντας θεμελίους ἐπιστηρίζοντι. διδάσκαλος καὶ τούτων ἡ ἱερὰ τῶν πράξεων γραφή.

A hos omnes circumferuntur etiam singulares ejusdem libri. De providentia. De Judæis. De homine civilem vitam agente. Alexander sive de eo quòd bruta animalia ratione sint prædita. Item quòd quicunque peccat servus est. Cui subjunctus est liber, De eo quòd liber est quicunque virtuti studet. Sequitur liber ille de vita contemplativa seu de supplicibus: ex quo capita quædam de Apostolicorum hominum vita supra retulimus. Sed & Hebraicorum nominum quæ in lege & in Prophetis occurrunt, interpretationes ab ipso compositæ esse dicuntur. Idem cum imperante Caïo Romam venisset, librumque de illius sceleribus & flagitiis conscripsisset, quem per cavillationem de virtutibus inscripsit, postmodum Claudio ad imperium evecto, coram universo Senatu librum illum fertur recitasse. Qui quidem tanta omnium admiratione exceptus est, ut ejus Scripta digna deinceps judicata sint, quæ in Bibliothecis publicis consecrarentur. Sub idem tempus cùm Paulus Apostolus ab Hierosolymis & finitimis locis regressus ad Illyricum usque properaret, Claudius Imperator Judæos Urbe expulit. Unde Aquila & Priscilla cum aliis Judæis Roma egressi, in Asiam appulerunt, ibique cum Apostolo Paulo qui Ecclesiarum regionis illius fundamenta à se recens posita tum maximè firmabat, commorati sunt, ut docet divinus Actuum Apostolicorum liber.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

*Οἵα τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους συμφορὰ μετῆλθεν ἐν τῇ τοῦ Πάσχα ἡμέρᾳ.*

Ἔτι δὲ Κλαυδίου τὰ τῆς βασιλείας διέποντος, κατὰ τὴν τοῦ Πάσχα ἑορτὴν, τοσαύτην ἐπὶ τῶν Ἱεροσολύμων στάσιν καὶ ταραχὴν ἐγγενέσθαι συνέβη, ὡς μόνων τῶν περὶ τὰς ἐξόδους τοῦ ἱεροῦ βίᾳ συνωθουμένων, τρεῖς μυριάδας Ἰουδαίων ἀποθανεῖν πρὸς ἀλλήλων καταπατηθέντων· γενέσθαι τε τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει, θρῆνον δὲ καθ' ἑκάστην οἰκίαν. καὶ ταῦτα μὲν σχεδὸν κατὰ λέξιν ὁ Ἰώσηπος. Κλαύδιος δὲ Ἀγρίππαν Ἀγρίππου παῖδα, Ἰουδαίων καθίστησι βασιλέα. Φήλικα τῆς χώρας ἁπάσης Σαμαρείας τε καὶ Γαλιλαίας, καὶ προσέτι τῆς ἐπικα-

## CAPUT XIX.

*Cujusmodi calamitas Iudæos Hierosolymis ipso Pascha die afflixerit.*

D Ceterùm Claudio Romanum adhuc imperium gubernante, tanta seditio tantusq; tumultus Hierosolymis in ipsa solemnitate paschæ conflatus est, ut illorum duntaxat qui circa templi portas contrusi & conferti conculcatione mutua perierunt, numerus ad triginta hominum millia pervenisse dicatur. Adeò ut festus ille dies & universæ genti lugubris, & singulis familiis lamentabilis fuerit. Hæc Josephus iisdem ferè verbis memorat. Interea Claudius Agrippam Agrippæ filium Judæorum Regem constituit, misso Felice qui Judææ simul & Samariæ & Galileæ, & regionis trans Jor- Huc refer Niceph. c.26. l.2.



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN